## Esercizi sulla TERZA DECLINAZIONE

### Sostantivi della terza declinazione

ἀγών, ἀνήρ, ἅρμα, ἄρχων, Ἀστυάγης, βασιλεύς, βοῦς, βρῶμα, γαστήρ, γένος, γυνή, ἔγκλημα, ἔθνος, εἶδος, ἔμβαμμα, Ζεύς, θράσος, θυγάτηρ, ἱππεύς, κάλλος, Καππάδοξ, Κάρ, Κυαξάρης, μέγεθος, μήτηρ, μυριάς, νομεύς, παῖς, παροψίς, πατήρ, Παφλαγών, Περσεύς, πόλις, πούς, πρᾳότης, Σάβαρις, Φοῖνιξ, Φρύξ, φύσις, χείρ, χιτών, χρῆμα

**Verbi impersonali**: ἔξεστι, χρῆναι, δεῖ

**Genitivo assoluto**: προϊόντος τοῦ χρόνου

### Frasi e brani di Senofonte [Κύρου παιδεία]

1. Κῦρος παμπόλλους μὲν ἀνθρώπους ἐκτήσατο (*aoristo medio*: si impossessò) πειθομένους αὐτῷ, παμπόλλας δὲ πόλεις, πάμπολλα δὲ ἔθνη.
2. Κῦρος παραλαβὼν (*participio aoristo attivo secondo*: dopo aver preso) καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη σὺν ὀλίγῃ Περσῶν στρατιᾷ, κατεστρέψατο (*aoristo medio*: sconfisse, distrusse) Σύρους, Ἀσσυρίους, Ἀραβίους, Καππαδόκας, Φρύγας, Λυδούς, Κᾶρας, Φοίνικας, Βαβυλωνίους, ἦρξε (aoristo attivo: comandò) δὲ Βακτρίων καὶ Ἰνδῶν καὶ Κιλίκων, ὡσαύτως δὲ Σακῶν καὶ Παφλαγόνων, καὶ ἄλλων δὲ παμπόλλων ἐθνῶν.
3. Οἱ δὲ ἄρχοντες (*participio sostantivato*) θαυμάζονται ὡς σοφοὶ ἄνδρες.

**NOTA BENE: ἄρχω τινός faccio per primo qcs., inizio qcs.**

4. Νῦν γὰρ ἔρχονται μὲν οἱ πολέμιοι ἄρχοντες (*participio presente costruito con genitivo*) ἀδίκων χειρῶν, καλοῦσι δὲ ἡμᾶς ἐπικούρους οἱ φίλοι.

**NOTA BENE: γίγνομαι ἔκ τινος = γίγνομαι ἀπό τινος = γίγνομαί τινος (*genitivo ablativale*) nasco da qcn., sono figlio di qcn.**

5. Πατρὸς μὲν δὴ ὁ Κῦρος λέγεται γενέσθαι (*infinito aoristo medio*: γίγνομαι) Καμβύσου Περσῶν βασιλέως· ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ

Περσεῖδαι ἀπὸ Περσέως κλῄζονται.

6. Κῦρος μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ τοῦ Μήδων γενομένου (*participio aoristo medio*: γίγνομαι) βασιλέως.
7. Ἄρχοντες μέν εἰσι καὶ οἱ βουκόλοι τῶν βοῶν καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πάντες δὲ οἱ νομεῖς ζῴων.
8. Κῦρος ἦν τὸ εἶδος (*accusativo di relazione*) μὲν κάλλιστος, τὴν ψυχὴν (*accusativo di relazione*) δὲ φιλανθρωπότατος καὶ φιλομαθέστατος καὶ φιλοτιμότατος (*superlativi*).

**NOTA BENE:διάγω+ participio: διάγω φοιτῶνpasso la vita frequentando, frequento, διάγω μανθάνων passo la vita ad apprendere, mi dedico all'apprendimento**

9. Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες διάγουσι μανθάνοντες δικαιοσύνην. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι. Διδάσκουσι δὲ καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ.
10. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας.
11. Οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ. Πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ ἀκοντίζειν.
12. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι.
13. Ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα.

**NOTA BENE: infinito sostantivato = nomen actionis: τὸ πτύειν καὶ τὸ ἀπομύττεσθαι καὶ τὸ φαίνεσθαι**

14. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ πτύειν καὶ τὸ ἀπομύττεσθαι καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι.
15. Δειπνῶν δὲ δὴ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, προσάγει αὐτῷ καὶ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα.
16. Παῖς μέγας μικρὸν ἔχων χιτῶνα παῖδα μικρὸν μέγαν ἔχοντα χιτῶνα ἐκδύων αὐτὸν τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε (fece indossare), τὸν δ᾽ ἐκείνου αὐτὸς ἐνέδυ (indossò).

17. Κύρου πολυλογία οὐ θράσος διεφαίνετο, ἀλλ᾽ ἁπλότης καὶ φιλοστοργία.

18. Προϊόντος δὲ τοῦ χρόνου (*genitivo assoluto*: passato del tempo, dopo un po' di tempo) ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνῄσκει, ὁ δὲ Κυαξάρης ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφός, τὴν βασιλείαν ἔσχε τὴν Μήδων.

19. Κῦρος δὲ ἐλθὼν (*participio aoristo secondo* [ἔρχομαι]: giunto) οἴκαδε καὶ προσευξάμενος (*participio aoristo medio* [προσεύχομαι]: dopo aver invocato) Ἑστίᾳ πατρῴᾳ καὶ Διὶ πατρῴῳ καὶ τοῖς ἄλλοις θεοῖς ὡρμᾶτο ἐπὶ τὴν στρατείαν, συμπρούπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ.

20. Προϊόντι δὲ τῷ Κύρῳ ὁ πατὴρ ἤρχετο λόγου τοιοῦδε· ὦ παῖ, ὅτι μὲν οἱ θεοὶ ἵλεῴ τε καὶ εὐμενεῖς πέμπουσί σε καὶ ἐν ἱεροῖς δῆλον καὶ ἐν οὐρανίοις σημείοις.

**NOTA BENE: infinito sostantivato = nomen actionis: τῷ ῥᾳδιουργεῖν ... τῷ προνοεῖν καὶ φιλοπονεῖν.**

21. Ἐγὼ δὲ οἶμαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν καὶ φιλοπονεῖν.

22. Ἢν γὰρ βούλῃ μὴ ὢν ἀγαθὸς γεωργὸς δοκεῖν εἶναι ἀγαθός, ἢ ἱππεὺς ἢ ἰατρὸς ἢ αὐλητὴς ἢ ἄλλ᾽ ὁτιοῦν, ἐννόει πόσα σε δέοι ἂν μηχανᾶσθαι τοῦ δοκεῖν ἕνεκα.

23. Ἐπειδὴ δὲ διέβησαν (*aor. terzo*: attraversarono) τὰ ὅρια, προσηύχοντο αὖθις θεοῖς τοῖς Μηδίαν γῆν κατέχουσιν ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς.

24. Κροῖσος μὲν ὁ Λυδὸς ἄγειν λέγεται μυρίους μὲν ἱππέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυρίους.

25. Ἀρτακάμαν δὲ τὸν τῆς μεγάλης Φρυγίας ἄρχοντα λέγουσιν ἱππέας μὲν εἰς ὀκτακισχιλίους ἄγειν, λογχοφόρους δὲ σὺν πελτασταῖς οὐ μείους τετρακισμυρίων, Ἀρίβαιον δὲ τὸν τῶν Καππαδοκῶν βασιλέα ἱππέας μὲν ἑξακισχιλίους, τοξότας δὲ καὶ πελταστὰς οὐ μείους τρισμυρίων, τὸν Ἀράβιον δὲ Ἄραγδον ἱππέας τε εἰς μυρίους καὶ ἅρματα εἰς ἑκατὸν καὶ σφενδονητῶν πάμπολύ τι χρῆμα.

26. Κῦρος δ' ἑαυτῷ σκηνὴν μὲν κατεσκευάσατο (*aor. medio*: preparò, allestì) ὥστε ἱκανὴν ἔχειν οἷς καλοίη ἐπὶ δεῖπνον.
27. Ἄνδρες φίλοι, ὁ μὲν ἀγὼν ἐγγὺς ἡμῖν· προσέρχονται γὰρ οἱ πολέμιοι. Τὰ δ' ἆθλα τῆς νίκης, ἢν μὲν ἡμεῖς νικῶμεν (τοῦτο γὰρ ἀεὶ καὶ λέγειν καὶ ποιεῖν δεῖ), δῆλον ὅτι οἵ τε πολέμιοι ἡμέτεροι καὶ τὰ τῶν πολεμίων ἀγαθὰ πάντα.
28. Ἐγὼ δ', ἔφη, οὔτε ποσίν εἰμι ταχὺς οὔτε χερσὶν ἰσχυρός.
29. Ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν Σάβαριν καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ τὰς θυγατέρας.
30. Ἐπεὶ δ' ἦλθον (*aor. attivo secondo*: vennero) οἴκαδε, ἔλεγον (raccontavano, elogiavano) τοῦ Κύρου ὁ μέν τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πρᾳότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος.